λέγων ὡς εὐσέβειαν ἀλλ' οὐκ εὐτέλειαν ἀνέγραψε· καὶ
εἰ μὴ ταῦτα ὑμῖν ἀρέσκει, ἐξαλείφειν κελεύει, καὶ ἐκ
τούτων οἴεται πείσειν ὡς οὐδὲν ἀδικεῖ· ὃς ἐν δυοῖν μὲν
ἐτοῖν πλείω ἤδη τοῦ δέοντος δώδεκα ταλάντοις ἀνήλωσε,
παρ' ἕκαστον δὲ τὸν ἐνιαυτὸν ἐπεχείρησεν ἓξ ταλάντοις
22 τὴν πόλιν ζημιῶσαι, καὶ ταῦτα ὁρῶν αὐτὴν ἀποροῦσαν
χρημάτων καὶ Λακεδαιμονίους μὲν ἀπειλοῦντας, ὅταν
μὴ ἀποπέμψωμεν αὐτοῖς τὰ χρήματα, Βοιωτοὺς δὲ σύλας
ποιουμένους, ὅτι οὐ δυνάμεθα δύο τάλαντα ἀποδοῦναι,
τοὺς δὲ νεωσοικους ⟨καὶ⟩ τὰ τείχη περικαταρρέοντα,
εἰδὼς δὲ ὅτι ἡ βουλὴ ἡ ⟨ἀεὶ⟩ βουλεύουσα, ὅταν μὲν
ἔχῃ ἱκανὰ χρήματα εἰς διοίκησιν, οὐδὲν ἐξαμαρτάνει,
ὅταν δε εἰς ἀπορίαν καταστῇ, ἀναγκάζεται εἰσαγγελίας
δέχεσθαι καὶ δημεύειν τὰ τῶν πολιτῶν καὶ τῶν ῥητόρων
23 τοῖς ⟨τὰ⟩ πονηρότατα λέγουσι πείθεσθαι. χρὴ τοίνυν,
ὦ ἄνδρες δικασταί, μὴ τοῖς βουλεύουσιν ἑκάστοτε ὀργί-
ζεσθαι, ἀλλὰ τοῖς εἰς τοιαύτας ἀπορίας καθιστᾶσι τὴν
πόλιν. προσέχουσι ⟨δὲ⟩ τὸν νοῦν οἱ βουλόμενοι τὰ
κοινὰ κλέπτειν, ὅπως Νικόμαχος ἀγωνιεῖται· οἷς ὑμεῖς,
ἐὰν μὴ τοῦτον τιμωρήσησθε, πολλὴν ἄδειαν ποιήσετε·
ἐὰν δὲ καταψηφισάμενοι τῶν ἐσχάτων αὐτῷ τιμήσητε,
τῇ αὐτῇ ψήφῳ τούς τε ἄλλους βελτίους ποιήσετε καὶ
24 παρὰ τούτου δίκην εἰληφότες ἔσεσθε. ἐπίστασθε δέ, ὦ
ἄνδρες δικασταί, ὅτι παράδειγμα τοῖς ἄλλοις ἔσται μὴ
τολμᾶν εἰς ὑμᾶς ἐξαμαρτάνειν οὐχ ὅταν τοὺς ἀδυνάτους
εἰπεῖν κολάζητε, ἀλλ' ὅταν παρὰ τῶν δυναμένων λέγειν
δίκην λαμβάνητε. τίς οὖν τῶν ἐν τῇ πόλει ἐπιτηδειότε-
ρος Νικομάχου δοῦναι δίκην; τίς ἐλάττω τὴν πόλιν
25 ἀγαθὰ πεποίηκεν ἢ πλείω ἠδίκηκεν; ὃς καὶ τῶν ὁσίων
καὶ τῶν ἱερῶν ἀναγραφεὺς γενόμενος εἰς ἀμφότερα
ταῦτα ἡμάρτηκεν. ἀναμνήσθητε δὲ ὅτι πολλοὺς ἤδη τῶν

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415481120/238 UNIVERSITÄT LEIPZIG